eul_wid: tyc-bs

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# Excerpt-White Lead

*Ἀπόσπασμα περὶ τοῦ λευκοῦ μολύβδου*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 ....................................................................... δύναμις· μετὰ δὲ τὴν ἐργασίαν τὸ ψιμμίον ὕδατι ὑετίῳ γλυκιζόμενον, καὶ ἐώμενον καταστῆναι· τὸ δὲ ὕδωρ ἀπόχεε ἀπ' αὐτοῦ, καὶ εὑρίσκεται πάνυ λευκότατον· καὶ ἡ λιθάργυρος ἡ κοινὴ μολύβδου ἐστὶν, θαυμαστὴν δύναμιν ἔχει, κοινωνίαν ποιούμενος τῷ ὄξει· ἡ γὰρ καὶ αὐτὸ ἀσώ ματον εὑρίσκεται, ἁλμιζόμενον δὲ καὶ γλυκιζόμενον, καὶ αὐτὴ λευκοτάτη εὑρίσκεται καὶ πάνυ παρεμφαίνουσα τὸ ψιμμίθιον. Θαυμάζω δὲ καὶ τὸ σηρικὸν πῶς ἐν τῷ πυρὶ ξανθοῦται, καὶ τὸ σανδαράχην δύναμιν ἔχει θαυμαστήν.